Εὐστ. ἀλλαχοῦ δὲ σανὶς, θύρα. καὶ λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. Ἡσύχιος. καὶ σανίδες, ἐν αἷς ἐγράφοντο οἱ ὀφείλοντές τι, καὶ οἱ ἠδικηκότες τί. Ε.Μ. Ὡς νῦν δή τ' ἀνήρ.] ἀνὴρ, Εὐριπίδης δηλονότι, ὁ προσποιούμενος εἶναι Μενέλαος τῆς Ἑλένης πόσις. αὐτὸς δὲ, τὸν Μνησίλοχον, τὸν σκηπτόμενον εἶναι Ἑλένην. ὀλίγον δὲ, χεδὸν, μονονουχί. ἱστιορράφος δὲ, πανοῦργος, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ Αἰγύπτιοι A δὲ λινοποιοί εἰσι. Σ. Τοῖς κόραξιν ἑστιῶν.] τουτέστιν ἑστίασιν παρέχων. ἑστιᾶν, ἀεὶ στοποιεῖν. τρέφειν. ἑστιᾶσθαι, τρέφεσθαι, εὐωχεῖσθαι. σημείωσαι δὲ τὸ ἑστιᾶν νῦν μετὰ δοτικῆς λαμβάνεσθαι ἀντὶ τοῦ ἑστίασιν, καὶ εὐωχίαν παρέχειν. ὅπερ σπανιώτατον. Ιαππαπαιάξ.] ἐπίρρημα σχετλιαστικόν. ὅπερ ἀλλαχοῦ ἰατταταιὰξ γράφεται. ὦ κροκῶθ' οἱ εἴργασαι, τὸ πλῆρες, ὦ κροκωτὲ οἷα εἴργασαι. περὶ δὲ τοῦ κροκωτοῦ ἐν τοῖς ἄνω εἴρηται.

B

ΣΤΡΟΦΗ.

Χο. Ἄγε νῦν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε
Ταῖς γυναιξὶν,
Ὅτ' ἂν ὄργια σεμνὰ, θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν ἅπερ καὶ
Παύσων σέβεται καὶ νηστεύει.
Πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
Ἐς τὰς ὥρας ξυνεπευχόμενος
Τοιαῦτα μέλλειν θάμ' ἑαυτῷ
Ὅρμα χώρει
Κοῦφα ποσὶν ἄγ' ἐς κύκλον,
Χειρὶ σύναπτε χεῖρα ῥυθμὸν χορείας
Ὕπαγε πᾶσα. βαῖνε καρπαλίμοιν ποδοῖν,
Ἐπισκοπεῖν δὲ πανταχῇ
Κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
Ἅμα δὲ καὶ
Γένος ὀλυμπίων θεῶν
Μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
Εἰ δέ τις
Προσδοκᾷ κακῶς ἐρεῖν
Ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας,
Οὐκ ὀρθῶς φρονεῖ.
Ἀλλὰ χρὴ,
Ὥσπερ ἔργον αὖ τι καινόν.

CONVERSIO.

*CH. Age, nunc nos feriamus terram, & tripudiemus, quæ quidem lex hic est*
*Mulieribus,*
*Cum Orgia veneranda dearum Cereris & Proserpinæ sacris temporibus celebrauerimus.*
*Quas quidem sacras saltationes etiam*
C *Pauson colit, & ieiunat*
*Sæpenumero vnà cum ipsis ex temporibus,*
*In tempora simul precans,*
*Talia tripudia curæ esse frequenter sibi ipsi.*
*Incita te, procede.*
*Leuiter pedibus duc te in orbem.*
*Manui coniunge manum, rhythmum choreæ*
*Subduc vnaquæque, incede celeribus pedibus.*
D *Explorare autem, quamcunque in partem*
*Voluentem oculum oportet choreæ constitutionem & ordinem.*
*Simul autem &*
*Genus cœlestium Deorum*
*Cane, & venerare voce vnaquæque tripudiatorio furentiq́ue more.*
*Si verò aliquis*
E *Sperat maledicturam*
*In templo hoc mulierem me existentem viris,*
*Non recte sentit.*
*Sed oportet*
*Quasi rem rursus quondam nouam*

BOURDINUS. Ὄργια] μυστήρια ἱερά. ὀργιάζειν, θύειν, καὶ τελετὴν τελεῖν. Παύσων.] ὄνομα πένητος. ἦν δὲ καὶ ζωγράφος τις, ὅστις ἐπὶ πενίᾳ διατεθρύλληται. Νηστεύει.] ἀσιτεῖ. Σύναπτε] συνέγγιζον. Τὴν χεῖρα.] τῇ χειρὶ καὶ συμβάλλου. Καρπαλίμοιν.] ταχέσι F καὶ μετὰ ποδῶν ἐλαφρότητος ὀξύτητός τε. Κυκλοῦσαν.] ὄψιν περιφέρουσαν ὄμματά τε περιστρέφουσαν. Γέραιρε.] σέβου. Χορομανεῖ.] μαινομένῳ τρόπῳ. ἐπιμανεῖ τε τῆς χορήσεως.

BISETUS. Ἄγε νῦν ἡμεῖς] στροφὴ τοῦ χοροῦ ᾄδοντος, καὶ ὀρχουμένου κατ' ἔθος τὸ τῶν κωμῳδιῶν. ἐν τούτῳ δὲ ὁ Μνησίλοχος ἐδεσμεύετο. εἰσὶ δὲ στίχοι μικτοὶ νς'. ὧν ὁ τελευταῖος. Εὐπέταλος ἕλικι θάλλει. παίσωμεν, τὴν γῆν, εἴτε τὴν χθόνα δηλονότι. τοῦτο γὰρ ἐλλειπτικῶς εἴρηται. οἱ G δὲ ὀρχούμενοι τὴν γῆν ποσὶ παίειν εἰώθασι. παίσωμεν τοίνυν, τουτέστι χορεύσωμεν. παίειν χθόνα, χορεύειν. Ὅμηρ. Οδ. θ. Ἀλλ' ἄγε Φαιήκων βητάρμονες, ὅσσοι ἄριστοι, Παίσατε. Εὐστάθ. τινὲς τὸ παίσατε, ἀντὶ τοῦ τύψατε, ὅ ἐστιν ὀρχηστικῶς κρούσατε τὴν γῆν καὶ κάτω. τὸ παίσατε δηλοῖ ἐλλειπτικῶς τὸ τύψατε ποσὶ τὴν γῆν. Ἅπερ καὶ Παύσων] ἅπερ ὄργια, ἃ μυστήρια, ἃς Δήμητρος, καὶ Κόρης τελετὰς καὶ ὁ Παύσων σέβει. καὶ μείζονος εὐσεβείας χάριν νηστεύει, οὐκ ἐσθίει, τροφὴν οὐ λαμβάνει, σιτίσεως, καὶ τροφῆς ἀπέχεται, ἵνα ῥᾷον, καὶ εὐσεβέστερον τὰ τοιαῦτα ὄργια τελοίη. τοῦτο δὲ ἐν τοῖς κάτω δηλοῦται. Παίσωμεν ὦ γυναῖκες οἷάπερ νόμος, νηστεύωμεν δὲ πάντως. κωμικῶς δὲ τὸν Παύσωνα σκώπτων ταῦτα λέγει. οὗτος γὰρ καὶ ἐν Πλούτῳ ἐπὶ πενίᾳ κωμῳδεῖται. ὅθεν καὶ ἡ παροιμία, Παύσωνος πτωχότερος. σέβεται δὲ, σέβει. αὐταῖν, σὺν αὐταῖν, ἔστι γὰρ ἔλλειψις τῆς συν προθέσεως. θαμὰ δὲ, συνεχῶς. πυκνῶς. διηνεκῶς. Σ. Κοῦφα ποσὶν] ὀρχήσεως, καὶ εὐρύθμου χορείας καλὴ περίφρασις, καὶ περιγραφή. κοῦφα δὲ, ἀντὶ τοῦ ἐπιρρήματος, κούφως, ἤγουν ἐλαφρῶς, γοργῶς, ταχέως. Καρπαλίμοιν.] καρπάλιμος, ταχύς. κυκλοῦσαν δὲ, στρέφουσαν. κυκλεῖν, στρέφειν. κυκλοῦν δὲ, περιλαμβάνειν, ὡς τοῖς παλαιοῖς σχολίοις εἰς Αἴαντα μαστιγοφόρον Σοφοκλέους γέγραπται. Χοροῦ κατάστασιν.] τοῦτο πρὸς τὸ ἐπισκοπεῖν δεῖ ἀναφέρειν. τοῦ δὲ χοροῦ κατάστασιν καλεῖ τὴν στάσιν, τὸν κόσμον, τὸν τρόπον, τὸ ἦθος, καὶ τὴν χορείαν, ἤγουν τὴν χοροστασίαν.